ὥστε τῶν μὲν μὴ τυγχάνοντας τοῖς δὲ περιπίπτοντας
D εὐλόγως ἐξάγειν τοῦ ζῆν ἑαυτοὺς καὶ τὸν βίον ἀπολέγεσθαι.

5. Νομίζω δ' ἐγὼ κἀκεῖνο παρὰ τὴν ἔννοιαν λέγεσθαι,
τὸ τὴν μὲν φύσιν αὐτὴν ἀδιάφορον εἶναι τὸ δὲ τῇ φύσει
ὁμολογεῖν ἀγαθὸν μέγιστον. οὐδὲ γὰρ τὸ νόμῳ κατακο-
λουθεῖν οὐδὲ τὸ λόγῳ πείθεσθαι σπουδαῖον ⟨καὶ ἀστεῖον⟩,
εἰ μὴ σπουδαῖος εἴη καὶ ἀστεῖος ὁ νόμος καὶ ὁ λόγος. καὶ
τοῦτο μὲν ἔλαττον· εἰ δέ, ὡς Χρύσιππος ἐν τῷ πρώτῳ
περὶ τοῦ Προτρέπεσθαι γέγραφεν, ἐν τῷ κατ' ἀρετὴν
βιοῦν μόνον ἐστὶ τὸ εὐδαιμόνως, 'τῶν ἄλλων' φησίν
'οὐδὲν ὄντων πρὸς ἡμᾶς οὐδ' εἰς τοῦτο συνεργούντων',
οὐ μόνον οὐκ ἔστιν ἀδιάφορος ἡ φύσις, ἀλλ' ἀνόητος καὶ
E ἀπόπληκτος, οἰκειοῦσ' ἡμᾶς πρὸς τὰ μηδὲν πρὸς ἡμᾶς·
ἀνόητοι δὲ καὶ ἡμεῖς εὐδαιμονίαν ἡγούμενοι τὸ τῇ φύσει
ὁμολογεῖν ἀγούσῃ πρὸς τὰ μηδὲν συνεργοῦντα πρὸς εὐ-
δαιμονίαν. καίτοι τί μᾶλλόν ἐστι κατὰ τὴν κοινὴν ἔννοιαν
ἢ καθάπερ τὰ αἱρετὰ πρὸς τὸ ὠφελίμως, οὕτω τὰ κατὰ
φύσιν πρὸς τὸ ζῆν κατὰ φύσιν; οἱ δ' οὐχ οὕτως λέγουσιν,
ἀλλὰ τὸ ζῆν κατὰ φύσιν τέλος εἶναι τιθέμενοι τὰ κατὰ
φύσιν ἀδιάφορ' εἶναι νομίζουσιν.

6. Οὐχ ἧττον δὲ τούτου παρὰ τὴν κοινὴν ἔννοιάν ἐστι
τὸ ἔννουν καὶ φρόνιμον ἄνδρα πρὸς τὰ ἴσα τῶν ἀγαθῶν
μὴ ἐπίσης ἔχειν, ἀλλὰ τὰ μὲν ἐν μηδενὶ λόγῳ τίθεσθαι
F τῶν δ' ἕνεκα πᾶν ὁτιοῦν ἂν ὑπομεῖναι καὶ παθεῖν, μηδὲν
ἀλλήλων μικρότητι καὶ μεγέθει διαφερόντων· ταὐτὸ δὲ
λέγουσιν αὐτοὶ [του] τῷ *** τὸ σωφρόνως δυσθανατῶσαν
ἀποτρίψασθαι πρεσβῦτιν· ὁμοίως γὰρ ἀμφότεροι κατορ-
θοῦσιν. ἀλλὰ δι' ἐκεῖνα μὲν ὡς λαμπρὰ καὶ μεγάλα κἂν
1061 ἀποθάνοιεν, | ἐπὶ τούτοις δὲ σεμνύνειν ἑαυτὸν αἰσχύνῃ